e | rara

www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

## Homerus

## [Basel], [1541]

## Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Odysseias E

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

Κούρη Ἰκαρίοιο. Φίλον δέ οἱ ἦτορ ἰάνθη.
Ὡς οἱ ἐναργὲς ὄνειρον ἐπέσσυτο νυκτὸς ἀμολγῷ.
Μνηστῆρες δ᾽ ἀναβάντες, ἐπέπλεον ὑγρὰ κέλευθα,
Τηλεμάχῳ φόνον αἰπὺν ἐνὶ φρεσὶν ὁρμαίνοντες,
Ἔστι δέ τις νῆσος μέσσῃ ἁλὶ πετρήεσσα,
Μεσσηγὺς Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
Ἀστερὶς οὐ μεγάλη, λιμένες δ᾽ ἐνὶ ναύλοχοι αὐτῇ
Ἀμφίδυμοι, τῇ τόν γε μένον λοχόωντες Ἀχαιοί.

ἰάνθη.] εὐφράνθη.] ἐναργές.] φανερόν. νυκτὸς ἀμολγῷ.] ἐν τῇ τῆς μεσονυκτίου ὥρᾳ. καὶ ἔστι κατὰ τὸ ἔτυμον ἤτοι ἀμολγῷ. καθ᾽ ἣν ὥραν συμβέβηκεν μὴ ἀμέλγεσθαι ζῶα. ἢ κατὰ ἀφαίρεσιν τοῦ γ. ἀμολῷ. καθ᾽ ἣν ὥραν οὐδεὶς μολίσκει ὅ ἐστι βαδίζει. ἢ κατὰ ἀφαίρεσιν τοῦ κ. ἀμ γῷ. καθ᾽ ἣν ὥραν οὐδεὶς μογεῖ. ὅπερ ἐστὶ κακοπαθεῖ, ἀλλὰ ἀναπαύεται. ταῦτα δὲ πάντα εἰς τὴν τῆς μεσονυκτίου ὥραν καταστρέφει. μέσσῃ ἁλί.] ἐν μέσῃ τῇ θαλάσσῃ. πετρήεσσα.] πετρώδης, τραχεῖα. Ἀστερίς.] ὄνομα νήσου κειμένης μέσον Ἰθάκης καὶ Σάμου. ὑγρὰ κέλευθα.] τὴν διὰ θαλάσσης ὁδόν. ναύλοχοι.] ἐν οἷς αἱ νῆες λοχῶσαι καὶ ἐνεδρεύουσαι λαθεῖν δύνανται. ἢ οἱ τὰς ναῦς ὑποδεχόμενοι τόποι. ἀμφίδυμοι.] ἀμφοτέρωθεν εἰσδύσεις τουτέστιν ἐξ ἑκατέρου μέρους εἴσπλους καὶ καταγωγὰς ἔχοντες. ἢ διπλοῖ. τῇ.] ἐκεῖ. λοχόωντες.] ἐνεδρεύοντες. ἀχαιοί.] οἱ μνηστῆρες.

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ε ΟΔΥΣΣΕΙΑΣ ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἐκκλησίαν τῶν θεῶν δευτέραν ποιησάμενος ὁ Ζεύς, Ἑρμῆν πέμπει πρὸς Καλυψώ, κελεύων ἀποπέμπειν τὸν Ὀδυσσέα. ἡ δὲ τὸ κελευσθὲν ποιεῖ. τῇ δὲ ὀκτωκαιδεκάτῃ ἡμέρᾳ ἰδὼν αὐτὸν ὁ Ποσειδῶν καὶ χαλεπήνας, λύει τὴν σχεδίαν. Ἰνὼ δὲ αὐτῷ κρήδεμνον δίδωσιν. ἐντειλαμένη ἐπιβάντι τῆς γῆς, ἀπορρίψαι αὐτό. καὶ πολλὰ παθών, εἰς τὴν Φαιάκων χώραν ἔρχεται διασωθείς.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ε. ΤΟΥ Ὁμήρου ῥαψωδίαν.

Τιθώνοιο. Τιθωνὸς Λαομέδοντος παῖς, Πριάμου ἀδελφός, Ἠοῦς ἀνήρ. ὁ Ἐνδυμίων, λέγεται συνευνᾶσθαι τῇ Σελήνῃ. καὶ ὁ Τιθωνὸς τῇ Ἡμέρᾳ. ἀλληγορεῖται δὲ οὕτως. ὁ Ἐνδυμίων εἰς ἄνδρα κυνηγέτην. καὶ τῇ μὲν νυκτὶ κοιμώμενον, τῇ δὲ Ἡμέρᾳ οὐ δὲ ποσῶς διὰ τὸ ἠσχολῆσθαι περὶ τὰ κυνηγέσια. ὁ δὲ Τιθωνὸς εἰς ἀστρονόμον καὶ τῇ μὲν ἡμέρᾳ κοιμώμενον τῇ δὲ νυκτὶ ἐπαγρυπνοῦντα διὰ τὸ ἠσχολῆσθαι περὶ τὰ ἄστρα. θῶκονδε.] εἰς συνέδριον. μνησαμένη, ὑπομνησθεῖσα. μέλε.] διὰ φροντίδος ἦν ὅπως.] πρᾶος. ἥσυχος. αἴσυλα.] παράνομα, καὶ ἁμαρτωλά. ἴσχει.] κατέχει, κωλύει. παρά.] πάρεισιν.

οὐ γὰρ δή

# ΙΛΙΑΔΟΣ Ε ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ

Ἔπλει ἐπὶ σχεδίης Ὀδυσσεὺς κατεβέσης πόντῳ

Ὡς δ᾽ ἐκ λεχέων παρ᾽ ἀγαυοῦ Τιθώνοιο,
Ὤρνυθ᾽ ἵν᾽ ἀθανάτοισι φόως φέροι, ἠδὲ βροτοῖσιν.
Οἱ δὲ θεοί, θῶκονδε καθίζανον, ἐν δ᾽ ἄρα τοῖσι,
Ζεὺς ὑψιβρεμέτης, οὗ τε κράτος ἐστὶ μέγιστον.
Τοῖσι δὲ Ἀθηναίη λέγε κήδεα πόλλ᾽ Ὀδυσῆος
Μνησαμένη, μέλε γάρ οἱ ἐὼν ἐν δώμασι νύμφης.
Ζεῦ πάτερ ἠδ᾽ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες.
Μή τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω
Σκηπτοῦχος βασιλεύς, μὴ δὲ φρεσὶν αἴσιμα εἰδώς.
Ἀλλ᾽ αἰεὶ χαλεπός τ᾽ εἴη καὶ αἴσυλα ῥέζοι.
Ὡς οὔτις μέμνηται Ὀδυσσῆος θείοιο
Λαῶν οἷσιν ἄνασσε, πατὴρ δ᾽ ὣς ἤπιος ἦεν.
Ἀλλ᾽ ὁ μὲν ἐν νήσῳ κεῖται κρατέρ᾽ ἄλγεα πάσχων
Νύμφης ἐν μεγάροισι Καλυψοῦς. ἥ μιν ἀνάγκῃ
Ἴσχει, ὁ δ᾽ οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι.
Οἵ κέν μιν πέμποιεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.
Νῦν αὖ παῖδ᾽ ἀγαπητὸν ἀποκτεῖναι μεμάασι

Οἴκαδε

Οἴκαδε νισσόμενον, ὁ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν
Ἐς Πύλον ἠγαθέην, ἠδ' ἐς Λακεδαίμονα δῖαν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς.
Τέκνον ἐμὸν ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
Οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτή.
Ὡς ἤτοι κείνους Ὀδυσεὺς ἀποτίσεται ἐλθών.
Τηλέμαχον δὲ σὺ πέμψον ἐπισταμένως, δύνασαι γὰρ
Ὥς κε μάλ' ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται,
Μνηστῆρες δ' ἐν νηῒ παλιμπετὲς ἀπονέωνται.
Ἦ ῥα καὶ Ἑρμείαν φίλον υἱὸν ἀντίον ηὔδα.
Ἑρμεία σὺ γὰρ αὖτε τά τ' ἄλλα περ ἄγγελός ἐσσι,
Νύμφῃ ἐϋπλοκάμῳ εἰπεῖν νημερτέα βουλήν,
Νόστον Ὀδυσῆος ταλασίφρονος, ὥς κε νέηται.
Οὔτε θεῶν πομπῇ, οὔτε θνητῶν ἀνθρώπων.
Ἀλλ' ὅγ' ἐπὶ σχεδίης πολυδέσμου πήματα πάσχων
Ἤματι κ' εἰκοστῷ Σχερίην ἐρίβωλον ἵκοιτο
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν,
Οἵ κέν μιν περὶ κῆρι θεὸν ὣς τιμήσουσιν.
Πέμψουσι δ' ἐν νηῒ φίλην ἐς πατρίδα γαῖαν,
Χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά τε δόντες,
Πόλλ' ὅσ' ἂν οὐδέ ποτε Τροίης ἐξήρατ' Ὀδυσεὺς,
Εἴπερ ἀπήμων ἦλθε λαχὼν ἀπὸ ληΐδος αἶσαν.
Ὣς γάρ οἱ μοῖρ' ἐστὶ φίλους τ' ἰδέειν καὶ ἱκέσθαι,
Οἶκον ἐς ὑψόροφον καὶ ἑὴν ἐς πατρίδα γαῖαν.
Ὣς ἔφατ', οὐδ' ἀπίθησε διάκτορος Ἀργειφόντης.
Αὐτίκα δ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
Ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο.
Εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει,
Τὴν μετὰ χερσὶν ἔχων, πέτετο κρατὺς Ἀργειφόντης.
Πιερίην δ' ἐπιβὰς ἐξ αἰθέρος ἔμπεσε πόντῳ.
Σεύατ' ἔπειτ' ἐπὶ κῦμα λάρῳ ὄρνιθι ἐοικώς,
Ὅς τε κατὰ δεινοὺς κόλπους ἁλὸς ἀτρυγέτοιο
Ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ.
Τῷ ἴκελος πολέεσσιν ὀχήσατο κύμασιν Ἑρμῆς,
Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἀφίκετο τηλόθ' ἐοῦσαν,
Ἔνθ' ἐκ πόντου βὰς ἰοειδέος, ἤπειρόνδε
Ἤϊεν, ὄφρα μέγα σπέος ἵκετο, ᾧ ἔνι νύμφη
Ναῖεν ἐϋπλόκαμος, τὴν δ' ἔνδοθι τέτμεν ἐοῦσαν,
Πῦρ μὲν ἐπ' ἐσχαρόφιν μέγα καίετο, τηλόσε δ' ὀδμὴ
Κέδρου τ' εὐκεάτοιο θύου τ' ἀνὰ νῆσον ὀδώδει

Δαιομένων,

ἀκουήν.] φήμην. δῖαν.] μεγάλην. ἀποτίσεται.] τιμωρήσεται.
οὐ γὰρ δή.] τοῦτο ἐν ἐρωτήσει προσενεκτέον. ἐβούλευσας.] ἐβουλεύσω, ἐσκέψω. ἐπισταμένως.] ἐπιστημόνως.
ἀσκηθής.] ὑγιὴς διὰ ἐπιμελείας. παλιμπετές.] διὰ ὑποστροφῆς εἰς τὰ ὀπίσω.
ηὔδα.] ἔλεγεν. εἰπεῖν.] ἀντὶ τοῦ εἰπέ. ταλασίφρονος.] καρτερικοῦ.
οὔτε θεῶν πομπῇ.] οὐδενὸς θεῶν παραπέμποντος. πομπῇ.] παρακομιδῇ. σχεδία.] εἶδος πλοίου. σχεδίης.] λείπει, νεὼς τῆς αὐτοσχεδίως πηχθείσης. πολυδέσμου.] πολλοῖς ἐμπεπηγμένης δεσμοῖς. ἤματι.] ἡμέρᾳ.
Σχερίην.] Σχερία ἐκαλεῖτο ἡ νῆσος τῶν Φαιάκων, τὸ δὲ μετὰ ταῦτα ἐκλήθη Κόρκυρα. τὸ δὲ ἀρχαιότατον ἐκαλεῖτο Δρεπάνη. ἐρίβωλον.] μεγαλόβωλον, εὔγειον. ἀγχίθεοι.] ἤτοι καθότι γένους εἰσὶν ἀπὸ Ποσειδῶνος, οἱ βασιλεῖς αὐτῶν. ἢ ὅτι εὐδαίμονές εἰσιν. ἢ καθὰ οἱ θεοὶ συνδιατρίβουσιν αὐτοῖς καὶ συνευωχοῦνται. περὶ κῆρι.] περισσῶς καὶ λίαν τῇ ψυχῇ ἐκθύμως. ἅλις.] ἱκανῶς αὐτάρκως. ἐξήρατο.] ἐξαίρετα ἔλαβεν. Τροίης ἐξήρατο.] διαιρετέον. τὸ γὰρ ἐξῆς Τροίης ἀπὸ ληΐδος, ἀπὸ τῆς Τρωϊκῆς λείας. λαχών.] κληρωσάμενος. μοῖρα.] εἱμαρμένη. διάκτορος.] ἄγγελος σαφής. ὁ διάγων τὰς ἀγγελίας. εἵλετο δὲ ῥάβδον.] λόγου ἀθρότητα νοητέον τὴν τοῦ Ἑρμοῦ ῥάβδον, ὥστε ψυχὰς μὲν τεταραγμένας παύειν. ἐκλελυμένας δὲ διεγείρειν.
θέλγει.] ἀμαυροῖ. νῦν δὲ κοιμίζει.
ὑπνώοντας.] κοιμωμένους καθεύδοντας. Πιερίην.] Πιερία ὄρος Μακεδονίας ἱερὸν Μουσῶν. ἔμπεσε.] ἀθρόως κατῆλθεν. λάρῳ ὄρνιθι ἐοικώς.] τὴν ὁρμὴν οὐ τὸ σῶμα. λάρος δὲ ὄρνεον θαλάσσιον. κόλπους ἁλός.] τὰ κοιλώματα τῆς θαλάσσης. ἀγρώσσων.] θηρεύων, ἀγρεύων. πυκινά.] πυκνῶς, συνεχῶς. δεύεται.] βρέχεται.
ὀχήσατο.] ἐποχήσατο, ἐπέδραμεν. βάς.] ἐκβάς, ἐξελθών. ἰοειδέος.] μέλανος. ἤπειρόνδε.] εἰς τὴν γῆν. ᾧ ἔνι.] ἐν ᾧ. ναῖεν.] ᾤκει. ἐϋπλόκαμος.] καλοὺς πλοκάμους ἔχουσα.
τέτμεν.] κατέλαβεν. ἐπ' ἐσχαρόφιν.] ἐπὶ τῆς ἑστίας. ἢ ἐπὶ τῆς ἐσχάρας. τηλόσε.] πόρρω. κέδρου.] εἶδος δένδρου. εὐκεάτοιο.] εὐκατασκευάστου, εὐκλάστου, εὐσχίστου. ἀνὰ νῆσον.] κατὰ τὴν νῆσον. θύου.] εἶδος δένδρου ἢ φυτοῦ. ὀδώδει.] ἔπνεεν, ἀνεδίδοτο, ὦζεν.

δαιομένων.]

δαιομένων.] καιομένων. ἀοιδιάουσα.] ᾄδουσα. ἐποιχομένη.] ἐπιπορευομένη. σπέος.] περὶ τὸ σπήλαιον. πεφύκει.] πεφύτευτο ἦν. τηλεθόωσα.] ἄγαν θάλλουσα. κλήθρη τ' αἴγειρός τε.] εἴδη δένδρων. τανυσίπτεροι.] οἱ ἐν τῇ πτήσει τείνοντες τὰ πτερά. σκῶπες.] ὄρνεα νυκτονόμα, κακόνομα, κακόφωνα, σκαιῶπες οὖν τινές. ἴρηκες.] ἱέρακες. τανύγλωσσοι.] πλατύγλωσσοι. εἰνάλιαι.] θαλάσσιαι. τῇσιν.] αἷστισιν. θαλάσσια ἔργα.] αἱ ἐν τῇ θαλάσσῃ διατριβαί. τετάνυστο.] ἐξετέτατο. περὶ σπείους.] περὶ τοῦ σπηλαίου. γλαφυροῖο.] τοῦ κοίλου. ἡμερὶς ἡβώωσα.] ἄμπελος εἰς διαστολὴν τῆς ἀγρίας ἀκμάζουσα. τεθήλει.] ἔθαλλεν. πίσυρες.] τέσσαρες. τετραμμέναι.] ἀπετραμμέναι. ἄλλυδις ἄλλῃ.] ἄλλη ἀλλαχοῦ. τὸ ἄλλῃ ἐπίρρημά ἐστιν ὅθεν ἄνευ τοῦ ι γραπτέον. λειμῶνες μαλακοί.] κακῶς τινὲς περιέσπασαν, ἵν' ᾖ, μαλακοί, ἁπαλοί. ἀλλαχοῦ γὰρ λέγει ὑδρηλοὶ μαλακοί. ἴου.] ἴον εἶδος ἄνθους. θήλεον.] ἔθαλλον. θηήσαιτο.] ἐθεάσατο, ἐθαύμασεν. θηεῖτο.] ἐθεᾶτο ἐθαύμαζεν. ἀγνῶτες.] ἄγνωστοι. πέλονται.] εἰσὶν ὑπάρχουσιν. ἐπ' ἀκτῆς.] ἐπὶ τοῦ αἰγιαλοῦ. στοναχῇσι.] στεναγμοῖς. ἄλγεσι.] κακοῖς. θυμὸν ἐρέχθων.] καταπίνων ἐν ἑαυτῷ στένων λυπούμενος βαρέως. δερκέσκετο.] ἑώρα, ἔβλεπεν. ἐρέεινεν.] ἠρώτα. ἱδρύσασα.] καθίσασα. σιγαλόεντι.] ποικίλῳ. χρυσόρραπιν.] χρυσῆν ῥάβδον ἔχοντα. ἄνωγεν.] ἐκέλευεν. αἰδοῖος.] αἰδοῦς ἄξιος, τίμιος. θαμίζειν.] συνεθῶς ἐπιφοιτᾶν καὶ ἔρχεσθαι. εἰ τετελεσμένον ἐστί.] εἰ φύσιν ἔχει τοῦ δύνασθαι τελειωθῆναι, ἢ δυνατόν ἐστι γενέσθαι. ἀμβροσίης.] τοῦ τῶν θεῶν βρώματος. πλήσασα.] πληρώσασα. κέρασε δὲ νέκταρ.] νῦν ἐνέχεεν ἀπὸ τῆς ἀρχαίας συνηθείας. εἰς κέρας γὰρ ἐγχέοντες ἔπινον. ἦσθε.] ἤσθιεν. ἤραρεν.] ἀρεσθῆναι ἐποίησεν, τουτέστιν ἥρμοσεν. νημερτέως.] ἀληθῶς. ἐνισπήσω.] εἴπω, λέξω. οὐκ ἐθέλοντα.] ἐκ τούτου ἐμφαίνεται ἀκουσίως ἀφῖχθαι. ἄσπετον.] πολύ. ἐξαίτους] ἐξαιρέτους, οὔτε παρεξελθεῖν οὔτ' ἁλιῶσαι οὔτε μάταιον ἡγήσασθαι οὔτε παρελθεῖν καὶ ἀπειθῆναι. οἰζυρώτατον.] καταπεπονημένον, τεταλαιπωρημένον.

νόστον.

Δαιομένων, ἡ δ' ἔνδον ἀοιδιάουσ' ὀπὶ καλῇ,
Ἱστὸν ἐποιχομένη χρυσείῃ κερκίδ' ὕφαινεν,
Ὕλη δὲ σπέος ἀμφιπεφύκει τηλεθόωσα,
Κλήθρη τ' αἴγειρός τε καὶ εὐώδης κυπάρισσος.
Ἔνθα δέ τ' ὄρνιθες τανυσίπτεροι εὐνάζοντο.
Σκῶπές τ' ἴρηκές τε τανύγλωσσοί τε κορῶναι
Εἰνάλιαι, τῇσίν τε θαλάσσια ἔργα μέμηλεν,
Ἡ δ' αὐτοῦ τετάνυστο περὶ σπείους γλαφυροῖο,
Ἡμερὶς ἡβώωσα, τεθήλει δὲ σταφυλῇσι.
Κρῆναι δ' ἑξείης πίσυρες, ῥέον ὕδατι λευκῷ,
Πλησίαι ἀλλήλων, τετραμμέναι ἄλλυδις ἄλλῃ,
Ἀμφὶ δὲ λειμῶνες μαλακοὶ ἴου, ἠδὲ σελίνου
Θήλεον, ἔνθα κ' ἔπειτα καὶ ἀθάνατός περ ἐπελθὼν.
Θηήσαιτο ἰδὼν, καὶ τερφθείη φρεσὶν ᾗσιν.
Ἔνθα στὰς θηεῖτο διάκτορος Ἀργειφόντης,
Αὐτὰρ ἐπειδὴ πάντα ἑῷ θηήσατο θυμῷ.
Αὐτίκ' ἄρ' εἰς εὐρὺ σπέος ἤλυθεν, οὐδέ μιν ἄντην
Ἠγνοίησεν ἰδοῦσα Καλυψὼ δῖα θεάων,
Οὐ γάρ τ' ἀγνῶτες γε θεοὶ ἀλλήλοισι πέλονται
Ἀθάνατοι, οὐδ' εἴ τις ἀπόπροθι δώματα ναίει,
Οὐδ' ἄρ' Ὀδυσσῆα μεγαλήτορα ἔνδον ἔτετμεν,
Ἀλλ' ὅγ' ἐπ' ἀκτῆς κλαῖε καθήμενος, ἔνθα πάρος περ
Δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων,
Πόντον ἐπ' ἀτρύγετον δερκέσκετο δάκρυα λείβων,
Ἑρμείαν δ' ἐρέεινε Καλυψὼ δῖα θεάων
Ἐν θρόνῳ ἱδρύσασα φαεινῷ σιγαλόεντι.
Τίπτε μοι Ἑρμεία χρυσόρραπι εἰλήλουθας,
Αἰδοῖός τε φίλος τε, πάρος γε μὲν οὔτι θαμίζεις,
Αὔδα ὅ, τι φρονέεις, τελέσαι δέ με θυμὸς ἄνωγεν,
Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν,
Ἀλλ' ἕπεο προτέρω ἵνα τοι πὰρ ξείνια θείω.
Ὣς ἄρα φωνήσασα θεὰ παρέθηκε τράπεζαν
Ἀμβροσίης πλήσασα, κέρασσε δὲ νέκταρ ἐρυθρόν,
Αὐτὰρ ὁ πῖνε καὶ ἦσθε διάκτορος Ἀργειφόντης,
Αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ,
Καὶ τότε δή μιν ἔπεσσιν ἀμειβόμενος προσέειπεν,
Εἰρωτᾷς μ' ἐλθόντα θεὰ θεόν; αὐτὰρ ἐγώ τοι
Νημερτέως τὸν μῦθον ἐνισπήσω. κέλεαι γάρ.
Ζεὺς ἐμέ γ' ἠνώγει δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα,
Τίς δ' ἂν ἑκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
Ἄσπετον, οὐδέ τις ἄγχι βροτῶν πόλις, οἵ τε θεοῖσιν
Ἱερά τε ῥέζουσι καὶ ἐξαίτους ἑκατόμβας,
Ἀλλὰ μάλ' οὔπως ἐστὶ Διὸς νόον αἰγιόχοιο
Οὔτε παρεξελθεῖν ἄλλον θεὸν, οὔθ' ἁλιῶσαι.
Φησί τοι ἄνδρα παρεῖναι ὀϊζυρώτατον ἄλλων
Τῶν ἀνδρῶν, οἳ ἄστυ πέρι Πριάμοιο μάχοντο

Εἰνάετες,

Εἰνάετες, δεκάτῳ δὲ πόλιν πέρσαντες, ἔβησαν
Οἴκαδ᾽, ἀτὰρ ἐν νόστῳ Ἀθηναίην ἀλίτοντο.
Ἥ σφιν ἐπῶρσ᾽ ἄνεμόν τε κακὸν καὶ κύματα μακρά,
Ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι,
Τὸν δ᾽ ἄρα δεῦρ᾽ ἄνεμός τε φέρων καὶ κῦμα πέλασσεν
Τὸν, νῦν σ᾽ ἠνώγει ἀποπεμπέμεν ὅττι τάχιστα,
Οὐ γάρ οἱ τῇδ᾽ αἶσα φίλων ἀπονόσφιν ὀλέσθαι,
Ἀλλ᾽ ἔτι οἱ μοῖρ᾽ ἐστὶ φίλους τ᾽ ἰδέειν, καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον, καὶ ἑὴν ἐς πατρίδα γαῖαν.
Ὣς φάτο· ῥίγησεν δὲ Καλυψὼ δῖα θεάων,
Καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα.
Σχέτλιοί ἐστε θεοὶ ζηλήμονες ἔξοχον ἄλλων,
Οἵτε θεαῖς ἀγάασθε παρ᾽ ἀνδράσιν εὐνάζεσθαι
Ἀμφαδίην, ἤν τίς τε φίλον ποιήσετ᾽ ἀκοίτην.
Ὣς μὲν ὅτ᾽ Ὠρίων᾽ ἕλετο ῥοδοδάκτυλος ἠώς,
Τόφρα οἱ ἠγάασθε θεοὶ ῥεῖα ζώοντες.
Ἕως μιν ἐν Ὀρτυγίῃ χρυσόθρονος Ἄρτεμις ἁγνὴ,
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν,
Ὣς δ᾽ ὁπότ᾽ Ἰασίωνι ἐϋπλόκαμος Δημήτηρ,
Ὧι θυμῷ εἴξασα μίγη φιλότητι καὶ εὐνῇ,
Νειῷ ἐνὶ τριπόλῳ, οὐδὲ δὴν ἦεν ἄπυστος
Ζεὺς, ὅς μιν κατέπεφνε βαλὼν ἀργῆτι κεραυνῷ.
Ὣς δ᾽ αὖ νῦν μοι ἀγᾶσθε θεοὶ βροτὸν ἄνδρα παρεῖναι.
Τὸν μὲν ἐγὼν ἐσάωσα, περὶ τρόπιος βεβαῶτα
Οἶον, ἐπεί οἱ νῆα θοὴν ἀργῆτι κεραυνῷ,
Ζεὺς ἐλάσας ἐκέασσε μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
Ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι.
Τὸν δ᾽ ἄρα δεῦρ᾽ ἄνεμός τε φέρων, καὶ κῦμα πέλασσε.
Τὸν μὲν ἐγὼ φίλεόν τε, καὶ ἔτρεφον, ἠδὲ ἔφασκον,
Θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.
Ἀλλ᾽ ἐπεὶ οὔπως ἔστι Διὸς νόον αἰγιόχοιο,
Οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὐδ᾽ ἁλιῶσαι,
Ἐρρέτω, εἴ μιν κεῖνος ἐποτρύνει καὶ ἀνώγει
Πόντον ἐπ᾽ ἀτρύγετον, πέμψω δέ μιν οὔπῃ ἔγωγε.
Οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
Οἵ κέν μιν πέμποιεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.
Αὐτάρ οἱ πρόφρων ὑποθήσομαι, οὐδ᾽ ἐπικεύσω.
Ὥς κε μάλ᾽ ἀσκηθὴς, ἣν πατρίδα γαῖαν ἵκηται.
Τὴν δ᾽ αὖτε προσέειπε διάκτορος Ἀργειφόντης.
Οὕτω νῦν ἀπόπεμπε, Διὸς δ᾽ ἐποπίζεο μῆνιν.
Μή πώς τοι μετόπισθε κοτεσσάμενος χαλεπήνῃ.
Ὣς ἄρα φωνήσας ἀπέβη κρατὺς Ἀργειφόντης.
Ἡ δ᾽ ἐπ᾽ Ὀδυσσῆα μεγαλήτορα πότνια νύμφη,
Ἤϊ᾽, ἐπειδὴ Ζηνὸς ἐπέκλυεν ἀγγελιάων.
Τὸν δ᾽ ἄρ᾽ ἐπ᾽ ἀκτῆς εὗρε καθήμενον, οὐδέ ποτ᾽ ὄσσε
Δακρυόφιν τέρσοντο, κατείβετο δὲ γλυκὺς αἰὼν

Νόστον

νόστον.] τὸν οἴκαδε ἐπάνοδον. τ.] ἐκείνων. πέρσαντες.] πορθήσαντες. ἔβησαν.] ἐπορεύθησαν, ἐπέπλευσαν. ἀλίτοντο.] ἥμαρτον. ἐπῶρσε.] ἐπήγαγεν. ἀπέφθιθον.] ἐφθάρησαν. τῇδε.] ἐνθάδε. αἶσα.] πεπρωμένη. ὀλέσθαι.] ἀπολέσθαι. σχέτλιοι.] ἀγνώμονες. ζηλήμονες.] ζηλότυποι. ἢ ἀηλήμονες. βλαπτικοί. ἀγάασθαι. φθονεῖτε. εὐνάζεσθαι. κοιμᾶσθαι. ὡς μὲν ὅτ᾽ Ὠρίωνα οἱ πλείονες ὑπὸ Σκορπίου φασὶ αὐτὸν ἀναιρεθῆναι βιαζόμενον τὴν Ἄρτεμιν. ὁ γὰρ Ἀπόλλων οὐκ ἀνεῖλεν, ἴσως μὴ παρὼν τότε. ἠγάασθε.] ἐφθονεῖτε. Ὀρτυγίῃ.] τῇ Δήλῳ. νῆσος δὲ ἡ Δῆλος ἐστὶν ἀνὰ μέσον τῶν Κυκλάδων. ὡς δ᾽ ὁπότ᾽ Ἰασίωνι.] τούτου καὶ Δημήτριος ὁ Πλάστος. ἦν δὲ Κρὴς ὁ Ἰασίων. Ἑλλάνικος δὲ Ἠλέκτρας καὶ Διὸς αὐτὸν γενεαλογεῖ. ἔνιοι δὲ φασὶν αὐτὸν γεωργικώτατον ὄντα δόξαν ἔχειν, ὅτι τῇ Δήμητρι συνῴκει. τινὲς δὲ φασὶν μετὰ τὸν ἐπικλυσμὸν παρὰ μόνῳ Ἰασίωνι σπέρμα πυροῦ εὑρεθῆναι ἐν Κρήτῃ. ὅθεν διασωθῆναι φήμην, ὅτι ἡ Δημήτηρ αὐτῷ συνῴκει καὶ ἐγέννησε Πλοῦτον. ᾧ θυμῷ εἴξασα.] ἐπιθυμήσασα. νειῷ.] νεωτιζομένῃ γῇ ἠρωμένῃ. τριπόλῳ.] τρίτον ἐσκαμμένῃ. ἄπυστος.] ἀνήκοος. ἐσάωσα.] ἔσωσα. περὶ τρόπιος βεβαῶτα.] περιβεβηκότα τὴν τρόπιν. ἐλάσας.] πλήξας, κεραυνώσας. ἐκέασσε.] ἔκαυσε, διέσχισεν. ἀγήραον.] μὴ γηρῶντα. πάρα.] πάρεισιν. ὑποθήσομαι.] συμβουλεύσω. ἐποτρύνει.] παρορμᾷ. οὔπῃ.] οὐδαμῶς. πρόφρων.] πρόθυμος ἢ προθύμως. ἐποπίζεο.] ἐπιστρέφου, φρόντιζε. χαλεπήνῃ.] ὀργισθείη. τέρσοντο.] ἐξηραίνοντο. κατείβετο.] ἐνδακρύουσιν ἦν αὐτῷ ὁ τοῦ βίου χρόνος καὶ κατετήκετο.

ἐπεὶ οὐκ-

ἐπεὶ οὐκέτι ἥνδανε.] καθ' οὓς ἤρεσκεν ἀποπέμπειν ἔτι αὐτόν. ἢ τὸ μὲν πρῶτον ὡς σώσας αὐτὸν ἔστεργεν· τὸ δὲ μετὰ ταῦτα οὐκέτι. ἰαύεσκεν.] διενυκτέρευσεν, ἢ ἐκοιμᾶτο. κάμμορε.] ἤτοι κακόμορε, καὶ ταλαίπωρε. δερκέσκετο.] ἔβλεπεν. φθινέτω.] φθειρέσθω. αἰών.] ὁ βίος τοῦ ἀνθρώπου, τουτέστιν ὁ τῆς ζωῆς χρόνος. δούρατα.] ναῦν, ξύλα. ταμών.] κόψας. σχεδίην.] τὴν εἰκαίως κατασκευασθεῖσαν ναῦν λέγει. ῥίγησεν.] ἔφριξεν, ἐφοβήθη. ἴκρια.] τὰ ὀρθὰ ξύλα. ἐφ' ὧν τὰ τῆς νεὼς καταστρώματα πήγνυται, τὰ ἐγκύλα λεγόμενα παρ' ἡμῖν. πῆξαι.] σύμπηξον. πομπήν.] ἔφοδος, ἐξαποστολήν. μενοεικέα.] τῷ μένει ἁρμόζοντα. ἐρύκοι.] κωλύοι. κρῆναι.] τελειῶσαι. πολύτλας.] πολλὰ ὑπομείνας. μήδεα.] βουλεύματα. ὠκύποροι.] ταχέως πλέουσαι. περόωσιν.] διαπερῶσιν. ἀγαλλόμεναι.] τερπόμεναι. βουλευσέμεν.] βουλεύσασθαι, ἐπινοῆσαι. ἀλιτρός.] ὁ μὴ ἀπηλλαγμένος πανουργίας, ὁ ἁμαρτωλός.

ἀέκητι.] ἀβουλίᾳ, παρὰ γνώμην.

ἀποφώλια.] ἀπαίδευτα, φωλεοὶ γὰρ τὰ παιδευτήρια. ἢ ἃ οὐκ ἄν τις ἀποφήναιτο ὡς ἄρρητα ἢ ἀσύνετα. ἐπεφράσθης.] ἐβουλεύσω, ἐπενόησας. ἀλλὰ τὰ μὲν νοέω.] ἀλλὰ ταῦτά σοι μηνύσω ὅσα φρονῶ, καὶ ὅσα ἂν ἐμαυτῇ συνεβούλευσα, ἐν τούτῳ τῆς χρείας καταστᾶσα. μηδοίμην.] βουλευσοίμην. ἵκοι.] ἔλθοι. ἐναίσιμος.] ἀγαθός. γλαφυρόν.] κοῖλον, διὰ τὸ γεγλύφθαι. ἷξον.] ἀφίκοντο, ἦλθον. αὐτίκα.]

Νόστον ὀδυρομένῳ, ἐπεὶ οὐκέτι ἥνδανε νύμφῃ,
Ἀλλ' ἤτοι νύκτας μὲν ἰαύεσκεν καὶ ἀνάγκῃ,
Ἐν σπέεσι γλαφυροῖσι παρ' οὐκ ἐθέλων ἐθελούσῃ.
Ἤματα δ' ἐν πέτρῃσι, καὶ ἠιόνεσσι καθίζων,
Δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων.
Πόντον ἐπ' ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.
Ἀγχοῦ δ' ἱσταμένη προσεφώνεε δῖα θεάων.
Κάμμορε, μή μοι ἔτ' ἐνθάδ' ὀδύρεο, μηδέ τοι αἰὼν
Φθινέτω, ἤδη γάρ σε μάλα πρόφρασσ' ἀποπέμψω.
Ἀλλ' ἄγε δούρατα μακρὰ ταμὼν ἁρμόζεο χαλκῷ
Εὐρεῖαν σχεδίην, ἀτὰρ ἴκρια πῆξαι ἐπ' αὐτῇ
Ὑψοῦ, ὥς σε φέρῃσιν ἐπ' ἠεροειδέα πόντον.
Αὐτὰρ ἐγὼ σῖτον καὶ ὕδωρ καὶ οἶνον ἐρυθρὸν
Ἐνθήσω μενοεικέ', ἅ κέν τοι λιμὸν ἐρύκοι.
Εἵματά τ' ἀμφιέσω, πέμψω δέ τοι οὖρον ὄπισθε.
Ὥς κε μάλ' ἀσκηθὴς σὴν πατρίδα γαῖαν ἵκηαι.
Αἴκε θεοί γ' ἐθέλωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
Οἵ μευ φέρτεροί εἰσι νοῆσαί τε κρῆναί τε.
Ὣς φάτο, ῥίγησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
Ἄλλο τι δὴ σὺ θεὰ τόδε μήδεαι, οὐδέ τι πομπήν,
Ἥ με κέλεαι σχεδίῃ περάαν μέγα λαῖτμα θαλάσσης,
Δεινόν τ' ἀργαλέον τε, τὸ δ' οὐδ' ἐπὶ νῆες ἐῗσαι
Ὠκύποροι περόωσιν, ἀγαλλόμεναι Διὸς οὔρῳ,
Οὐδ' ἂν ἐγὼν ἀέκητι σέθεν σχεδίης ἐπιβαίην,
Εἰ μή μοι τλαίης γε θεὰ μέγαν ὅρκον ὀμόσσαι,
Μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.
Ὣς φάτο, μείδησεν δὲ Καλυψὼ δῖα θεάων,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.
Ἦ δὴ ἀλιτρός γ' ἐσσὶ καὶ οὐκ ἀποφώλια εἰδώς,
Οἷον δὴ τὸν μῦθον ἐπεφράσθης ἀγορεῦσαι,
Ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
Ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι,
Μή τί τοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.
Ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι, ἅσσ' ἂν ἐμοί περ
Αὐτῇ μηδοίμην, ὅτε με χρειὼ τόσον ἵκοι,
Καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος, οὐδέ μοι αὐτῇ
Θυμὸς ἐνὶ στήθεσσι σιδήρεος, ἀλλ' ἐλεήμων.
Ὣς ἄρα φωνήσασ' ἡγήσατο δῖα θεάων
Καρπαλίμως, ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
Ἷξον δὲ σπεῖος γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ,
Καί ῥ' ὁ μὲν ἔνθα κάθιζεν ὅθι θρόνου ἔνθεν ἀνέστη
Ἑρμείας, νύμφη δ' ἐτίθει παρὰ πᾶσαν ἐδωδὴν
Ἔσθειν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν.
Αὐτὴ δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,

Τῇ δὲ

Τῇ δὲ παρ' ἀμβροσίην δμῳαὶ καὶ νέκταρ ἔθηκαν,
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον,
Αὐτὰρ ἐπεὶ τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος,
Τοῖς ἄρα μύθων ἦρχε Καλυψὼ δῖα θεάων.
Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ,
Οὕτω δὴ οἶκονδε φίλην ἐς πατρίδα γαῖαν
Αὐτίκα νῦν ἐθέλεις ἰέναι, σὺ δὲ χαῖρε καὶ ἔμπης,
Εἴ γε μὲν εἰδείης σῇσι φρεσὶν ὅσσα τοι αἶσα
Κήδε' ἀναπλῆσαι πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
Ἐνθάδε κ' αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις,
Ἀθάνατός τ' εἴης ἱμειρόμενός περ ἰδέσθαι
Σὴν ἄλοχον, τῆς τ' αἰὲν ἐέλδεαι ἤματα πάντα,
Οὐ μέν θην κείνης γε χερείων εὔχομαι εἶναι,
Οὐ δέμας, οὐδὲ φυήν, ἐπεὶ οὔπως οὐδὲ ἔοικεν,
Θνητὰς ἀθανάτῃσι δέμας καὶ εἶδος ἐρίζειν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Πότνια θεά. μή μοι τόδε χώεο, οἶδα καὶ αὐτός,
Πάντα μάλ' οὕνεκα σεῖο περίφρων Πηνελόπεια,
Εἶδος ἀκιδνοτέρη, μέγεθός τ' εἰς ἄντα ἰδέσθαι,
Ἡ μὲν γὰρ βροτός ἐστι, σὺ δ' ἀθάνατος καὶ ἀγήρως.
Ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα,
Οἴκαδέ τ' ἐλθέμεναι, καὶ νόστιμον ἦμαρ ἰδέσθαι.
Εἰ δ' αὖτις ῥαίῃσι θεῶν ἐνὶ οἴνοπι πόντῳ,
Τλήσομαι ἐν στήθεσσιν ἔχων ταλαπενθέα θυμόν.
Ἤδη γὰρ μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα,
Κύμασι καὶ πολέμῳ, μετὰ καὶ τόδε τοῖσι γενέσθω.
Ὣς ἔφατ', ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ κνέφας ἦλθεν.
Ἐλθόντες δ' ἄρα τώ γε μυχῷ σπείους γλαφυροῖο,
Τερπέσθην φιλότητι παρ' ἀλλήλοισι μένοντε.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Αὐτίχ' ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυτ' Ὀδυσσεύς.
Αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἕννυτο νύμφη,
Λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ' ἰξυῖ
Καλὴν χρυσείην, κεφαλῇ δ' ἐπέθηκε καλύπτρην,
Καὶ τότ' Ὀδυσσῆι μεγαλήτορι μήδετο πομπήν.
Δῶκε μέν οἱ πέλεκυν μέγαν ἄρμενον ἐν παλάμῃσι
Χάλκεον ἀμφοτέρωθεν ἀκαχμένον, αὐτὰρ ἐν αὐτῷ,
Στειλειὸν περικαλλὲς, ἐλάινον εὖ ἐπαρηρός.
Δῶκε δ' ἔπειτα σκέπαρνον ἐύξοον, ἦρχε δ' ὁδοῖο
Νήσου ἐπ' ἐσχατιῆς. ὅθι δένδρεα μακρὰ πεφύκει,
Κλήθρη τ' αἴγειρός τ' ἐλάτη τ' ἦν οὐρανομήκης,
Αὖα πάλαι, περίκηλα, τά οἱ πλώοιεν ἐλαφρῶς.
Αὐτὰρ ἐπειδὴ δεῖξ' ὅθι δένδρεα μακρὰ πεφύκει.
Ἡ μὲν ἔβη πρὸς δῶμα Καλυψὼ δῖα θεάων.
Αὐτὰρ ὁ τάμνετο δοῦρα, θοῶς δέ οἱ ἤνυτο ἔργον.
Εἴκοσι δ' ἔκβαλε πάντα, πελέκκησεν δ' ἄρα χαλκῷ.

Ξέσσε δ'

αὐτίκα νῦν ἐθέλεις ἰέναι.] ἐν ἐπερωτήσει. εἰδείης.] ᾔδεις, ἠπίστασο. κήδεα.] λῦπαι, ἀνίαι. ἀναπλῆσαι.] ἀναπληρῶσαι. δῶμα.] καταχρηστικῶς τὸ σπήλαιον. εἴης.] γένοιο. ἱμειρόμενος.] ἐπιθυμῶν. ἐέλδεαι.] ἐπιθυμεῖς. ἤματα πάντα.] πάντα τὸν χρόνον. οὐ μέν θην.] οὐ μὲν δή. ἐρίζειν.] φιλονεικεῖν. πότνια.] σεβασμένα, τιμία. χώεο.] ὀργίζου. ἀκιδνοτέρη.] οἱ μὲν γλωσσογράφοι ἀσθενεστέρα. οἱ δὲ εὐτελεστέρα, καὶ γὰρ ἐν ἄλλοις οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο. οἱ μέν τοι γλωσσογράφοι ἀπέδοσαν πάλιν ἀσθενέστερον. ἀγήρως.] μὴ γηρῶσαι. εἰ δ' αὖτις εἰ δέ τις. ῥαίῃσι.] διαφθείρῃ. νόστιμον ἦμαρ.] τὴν τῆς ἀνακομιδῆς ἡμέραν. ταλαπενθέα.] ὑπομενητικόν. ἐμόγησα.] ἐκακοπάθησα. μυχῷ.] τελευταίῳ. σπείους.] σπηλαίου. ἕννυτο.] ἐνεδύσατο. ἰξυῖ.] ὀσφύι. καλύπτρην.] τὸ κάλυμμα τῆς κεφαλῆς. ἀργύφεον.] λευκόν. πομπήν.] παράπεμψιν. ἄρμενον.] ἡρμοσμένον. στειλειόν.] στελεὸς ἡ λαβὴ τοῦ πελέκεως. περικαλλές.] πάνυ καλόν. ἐπαρηρός.] ἐνηρμοσμένος. ἐπ' ἐσχατιῆς.] ἐπὶ τῶν ἐσχάτων μερῶν. αὖα πάλαι.] κατάξηρα καὶ ἐξαυλισμένα. ἡ δὲ εὐφωνίαν ἔγκειται τὸ α. περίκηλα.] περισσῶς κατεσκληκότα. ἤνυτο.] ἠνύετο, ἐτελειοῦτο. ἔκβαλε.] κατέβαλε.

σάθμην.]

στάθμην.] κανόνα, ὑπομεμιλτωμένον σχοινίον, ἢ τεκτονικὴν σπάρτον. ἴθυνε.] ἐπ' εὐθείας ἤγαγεν. τόφρα.] τηνικαῦτα. ἔνεικε.] ἤνεγκεν, ἤγαγεν. τέρετρα.] πάντα τὰ διατρῆσαι δυνάμενα γομφωτήρια καὶ τρύπανα. γόμφοισιν.] οἷς ἁρμόζεται τὰ ξύλα πρὸς ἄλληλα, ἢ πασσάλοις, ἢ πλατέσιν ἐπιούροις, ἢ σφῆνας. ἁρμονίῃσιν.] ἁρμονίαις. ἄραρεν.] ἥρμοσεν, γράφεται καὶ ἄρηρεν. ἔδαφος νηός.] τὸ κατώτατον κύτος τῆς νηός. τορνώσεται.] περιγράψειεν. φορτίδος.] φορταγωγοῦ τῆς καὶ ὁλκάδος καλουμένης. τεκτοσυνάων.] τῆς περὶ τὴν τεκτονικὴν ἐμπειρίας. ἀραρών.] ἁρμόσας. θαμέσι.] πυκνοῖς, συνεχέσιν. σταμίνεσσι.] τοῖς ἐπιμήκεσι ξύλοις, ἃ παρατίθεται τοῖς ἰκρίοις ἐξ ἑκατέρων τῶν μερῶν πρὸς τὸ ἑστάναι, ἢ τοῖς ὀρθοῖς ξύλοις, οἷς τὰ πηδάλια ἐμπήσσεται. ἐπηγκενίδεσσι.] ταῖς διατεταμέναις σανίσι. κατὰ μετάθεσιν τοῦ γ, οἷον ἐπενεγκίδεσσι ταῖς ἐπικειμέναις δοκοῖς. ἐπίκριον.] τὴν κεραίαν, τὸ πλάγιον ξύλον τοῦ ἱστοῦ ᾧ προσδέδεται τὰ ἄρμενα. τελεύτα.] ἐτέλει, ἐπλήρου. πηδάλιον.] κώπην. ἰθύνοι.] ἐπ' εὐθείας ἄγοι, κυβερνᾷ. διαμπερές.] διὰ παντὸς δι' ὅλου. ῥίπεσσι.] ταῖς τῆς ἰτέας ῥάβδοις ὅ ἐστιν κλάδοις. ἢ ἀπὸ οἰσυϊνῶν, ὅ ἐστιν ἱμαντῶδες φυτόν. εἶλαρ.] ἀσφάλειαν. ἢ κώλυμα καὶ φυλακήν. ἐπεχεύατο ὕλην.] ἔρεισμα τῆς σχεδίας. φάρεα.] ὀθόνας. τεχνήσατο.] εἰργάσατο. ὑπέρας.] τοὺς ἐκ τοῦ ἄκρου τῆς ὀθόνης ἐξηρτημένους κάλους, ἢ τὰς τροχιλίας. κάλωας.] τὰ σχοινία. δι' ὧν ἀνάγεται καὶ κατάγεται ἡ κεραία. πόδας.] τοὺς πόδας τοὺς κάτωθεν συνέχοντας τὴν ὀθόνην. ἢ τοὺς μεταγωγοὺς τοῦ κέρατος. ἕτεροι δὲ φορὰ σχοινία οἷς συνέχεται ἀπὸ πρώρας καὶ ἀποπρύμνας ὁ ἱστός. ἢ τὰ ἑκατέρωθεν δεδεμένα τοῖς ἀρμένοις σχοινία. κατείρυσεν.] καθείλκυσεν. ἀμφιέσασα.] ἐνδύσασα. θυώδεα.] εὐώδη. ᾖα.] ἐφόδια ἄλφιτα. μενοεικέα.] προσηνῆ, ἀρέσκοντα τῇ ψυχῇ. ἀγαθά. κωρύκῳ.] τῷ θυλάκῳ. πέτασεν.] ἥπλωσεν. ἰθύνετο.] ἐπ' εὐθείας ἦγεν, ἐκυβέρνα. τεχνηέντως.] ἐπιστημόνως. ἥμενος.] καθήμενος. πληϊάδας.] ἑπτὰ ἀστέρας συνεχεῖς, κατ' οὐρὰν δὲ ταύρου κειμένους. ὧν οἱ ἓξ μόνοι φαίνονται. ὀψὲ δύοντα Βοώτην.] τότε γὰρ μάλιστα τοῦ ἔργου ἀπολύονται οἱ βόες. ὀψὲ δύοντα.] μετὰ πολὺν χρόνον τοῦ συνανατειλάντων δύοντα. κατὰ γὰρ τὸν Ἄρατον τέτρασι γὰρ μοίραις ἄμυδις κατιόντα Βοώτην Ὠκεανὸς δέχεται. συγκαταφέρεται δὲ τέτρασι ζωδίοις Σκορπίῳ, ἀφ' οὗ ἄρχεται, τοξότῃ, αἰγοκέρῳ, ὑδροχόῳ ἐφ' οὗ λήγει. Βοώτην.] ὁ βοώτης καὶ Ἀρκτοφύλαξ καλεῖται, καὶ δοκεῖ εἶναι ὁ Ἰκάριος, Βοώτης δὲ λέγεται ὅτι κατὰ τὴν ἐπιτολὴν αὐτοῦ βουλαγοῦσι καὶ ἀροτριῶσιν. ἢ ἐπεὶ ὁ Ἰκάριος ἐπὶ ἁμαξῶν παρεκόμιζε τὸν οἶνον. Ἄρκτον θ' ὃν καὶ ἄμαξαν.] καὶ ἄμαξα καλεῖται, ἡ Ἄρκτος. ἐπεὶ ἐκ τεσσάρων. καὶ τῶν ἐφεξῆς τριῶν ὥσπερ ἐκτροχῶν καὶ ῥυμοῦ ἁμάξης, σχῆμα ἀποτελεῖται. ἐπίκλησιν.] ἐπωνυμίαν. τὴν γὰρ δή μιν.] πρὸς ταύτην γὰρ δὴ αὐτόν. ποντοπορευέμεναι.] πρὸς τὴν θάλασσαν διαπεραιοῦσθαι καὶ πλεῖν.

Ξέσσε δ' ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνε.
Τόφρα δ' ἔνεικε τέρετρα Καλυψὼ δῖα θεάων,
Τέτρηνεν δὲ τὰ πάντα καὶ ἥρμοσεν ἀλλήλοισι.
Γόμφοισι δ' ἄρα τήν γε καὶ ἁρμονίῃσιν ἄρηρεν.
Ὅσον τίς τ' ἔδαφος νηὸς τορνώσεται ἀνήρ,
Φορτίδος εὐρείης, εὖ εἰδὼς τεκτοσυνάων,
Τόσον ἐπ' εὐρεῖαν σχεδίην ποιήσατ' Ὀδυσσεύς.
Ἴκρια δὲ στήσας ἀραρὼν θαμέσι σταμίνεσσι
Ποίει, ἀτὰρ μακρῇσιν ἐπηγκενίδεσσι τελεύτα.
Ἐν δ' ἱστὸν ποίει, καὶ ἐπίκριον ἄρμενον αὐτῷ,
Πρὸς δ' ἄρα πηδάλιον ποιήσατο, ὄφρ' ἰθύνοι.
Φράξε δέ μιν ῥίπεσσι διαμπερὲς οἰσυΐνῃσι.
Κύματος εἶλαρ ἔμεν, πολλὴν δ' ἐπεχεύατο ὕλην.
Τόφρα δὲ φάρε' ἔνεικε Καλυψὼ δῖα θεάων.
Ἱστία ποιήσασθαι, ὁ δ' εὖ τεχνήσατο καὶ τά.
Ἐν δ' ὑπέρας τε, κάλως τε, πόδας τ' ἐνέδησεν ἐν αὐτῇ.
Μοχλοῖσιν δ' ἄρα τήν γε κατείρυσεν εἰς ἅλα δῖαν.
Τέτρατον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα.
Τῷ δ' ἄρα πέμπτῳ πέμπ' ἀπὸ νήσου δῖα Καλυψώ,
Εἵματά τ' ἀμφιέσασα θυώδεα καὶ λούσασα.
Ἐν δέ οἱ ἀσκὸν ἔθηκε θεὰ μέλανος οἴνοιο.
Τὸν ἕτερον, ἕτερον δ' ὕδατος μέγαν, ἐν δὲ καὶ ᾖα
Κωρύκῳ, ἐν δέ οἱ ὄψα τίθει μενοεικέα πολλά.
Οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε.
Γηθόσυνος δ' οὔρῳ πέτασ' ἱστία δῖος Ὀδυσσεύς.
Αὐτὰρ ὁ πηδαλίῳ ἰθύνετο τεχνηέντως
Ἥμενος, οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
Πληϊάδας τ' ἐσορῶντι, καὶ ὀψὲ δύοντα Βοώτην.
Ἄρκτον θ' ἣν καὶ Ἄμαξαν ἐπίκλησιν καλέουσιν,
Ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει,
Οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.
Τὴν γὰρ δή μιν ἄνωγε Καλυψὼ δῖα θεάων
Ποντοπορευέμεναι, ἐπ' ἀριστερὰ χειρὸς ἔχοντα.
Ἑπτὰ καὶ δέκα μὲν πλέεν ἤματα ποντοπορεύων.
Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα,

Γαίης

ἄγχιστον

Γαίης Φαιήκων, ὅθι τ' ἄγχιστον πέλεν αὐτῷ.
Εἴσατο δ' ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέϊ πόντῳ.
Τὸν δ' ἐξ Αἰθιόπων ἀνιὼν κρείων Ἐνοσίχθων,
Τηλόθεν ἐκ Σολύμων ὀρέων ἴδεν, εἴσατο γάρ οἱ
Πόντον ἐπιπλώων, ὁ δ' ἐχώσατο κηρόθι μᾶλλον.
Κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν.
Ὢ πόποι ἢ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
Ἀμφ' Ὀδυσῆϊ, ἐμεῖο μετ' Αἰθιόπεσσιν ἐόντος.
Καὶ δὴ Φαιήκων γαίης σχεδὸν, ἔνθα οἱ αἶσα
Ἐκφυγέειν μέγα πεῖρας ὀϊζύος, ἥ μιν ἱκάνει,
Ἀλλ' ἔτι μέν μιν φημὶ ἅδην ἐλάαν κακότητος.
Ὣς εἰπὼν σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον,
Χερσὶ τρίαιναν ἑλὼν, πάσας δ' ὀρόθυνεν ἀέλλας
Παντοίων ἀνέμων, σὺν δὲ νεφέεσσι κάλυψε
Γαῖαν ὁμοῦ καὶ πόντον, ὀρώρει δ' οὐρανόθεν νύξ.
Σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε Ζέφυρός τε δυσαής,
Καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων,
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤμοι ἐγὼ δειλὸς, τί νύ μοι μήκιστα γένηται;
Δείδω, μὴ δὴ πάντα θεὰ νημερτέα εἶπεν,
Ἧ μ' ἔφατ' ἐν πόντῳ πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
Ἄλγε' ἀναπλήσειν, τάδε δὴ νῦν πάντα τελεῖται,
Οἵοισι νεφέεσσι περιστέφει οὐρανὸν εὐρὺν
Ζεὺς, ἐτάραξε δὲ πόντον, ἐπισπέρχουσι δ' ἄελλαι
Παντοίων ἀνέμων. νῦν μοι σῶς αἰπὺς ὄλεθρος.
Τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ' ὄλοντο,
Τροίῃ ἐν εὐρείῃ χάριν Ἀτρείδῃσι φέροντες.
Ὣς δὴ ἐγώγ' ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
Ἤματι τῷ, ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα
Τρῶες ἐπέρριψαν, περὶ Πηλεΐωνι θανόντι,
Τῷ κ' ἔλαχον κτερέων, καί μευ κλέος ἦγον Ἀχαιοί.
Νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι,
Ὣς ἄρα μιν εἰπόντ' ἔλασε μέγα κῦμα κατ' ἄκρης
Δεινὸν ἐπεσσύμενον, περὶ δὲ σχεδίην ἐλέλιξεν,
Τῆλε δ' ἀπὸ σχεδίης αὐτὸς πέσε, πηδάλιον δὲ
Ἐκ χειρῶν προέηκε, μέσον δέ οἱ ἱστὸν ἔαξε
Δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα,
Τηλοῦ δὲ σπεῖρον, καὶ ἐπίκριον ἔμπεσε πόντῳ,
Τὸν δ' ἄρ' ὑπόβρυχα θῆκε πολὺν χρόνον, οὐδὲ δυνάσθη
Αἶψα μάλ' ἀνσχεθέειν μεγάλου ὑπὸ κύματος ὁρμῆς,
Εἵματα γάρ ῥ' ἐβάρυνε, τά οἱ πόρε δῖα Καλυψώ.
Ὀψὲ δὲ δή ῥ' ἀνέδυ, στόματος δ' ἐξέπτυσεν ἅλμην
Πικρὴν, ἥ οἱ πολλὴ ἀπὸ κρατὸς κελάρυζεν.
Ἀλλ' οὐδ' ὧς σχεδίης ἐπελήθετο τειρόμενός περ,
Ἀλλὰ μεθορμηθεὶς ἐν κύμασιν ἐλλάβετ' αὐτῆς,

Ἐν μέσσῃ

ἄγχιστον δέ.] τὸ ἐγγύτερον. εἴσατο δὲ ὡς ὅτε ῥινὸν ἐν π.] ῥινὸν ἀναγνωστέον. ἔστι γὰρ ἐφάνη ὡς ἀσπὶς ὅ ἐστι βύρσα. αἱ δὲ ἐρινεόν. ἔστι γὰρ συκέα. οἱ δὲ λέγουσιν Ἰλλυριοὺς ῥινὸν λέγειν τὴν ἀχλύν. ἐφάνη οὖν ὡς ἀχλὺς ἡ γῆ. εἴσατο.] ἐφάνη, ἔδοξεν. Σολύμων.] Σόλυμα ὄρη τῆς Πισιδίας. κάρην.] τὴν κεφαλήν. προτὶ ὅν.] πρὸς τὸν ἑαυτοῦ. μυθήσατο.] εἶπεν. μετεβούλευσαν.] μετέγνωσαν. πεῖρας.] ἤτοι τὸ πέρας τὸ τέλος, ἢ τὸ λιπαρὸν καὶ ἀκμάζον. ἅδην.] ἀθρόως. ἐλάαν κακότητος.] κόρον σχεῖν τῆς κακίας. συνάγε νεφέλας.] πρὸς ἀνθρώπους πάντες πάντων ἐξουσίαν ἔχουσιν. τρίαιναν ἑλών.] εὐπρεπῶς πρὸς τὸ κινῆσαι. φόρημα γὰρ εἶχεν ἀχώριστον. ὀρόθυνεν.] ἐτάραξε, συνήγαγεν. ὀρώρει.] ἐκινεῖτο, παρωρμᾶτο. νύξ.] σκότος. δυσαής.] δύσπνους, ἢ ἀπὸ δυσμῶν πνέων ἢ διπλοῦς κατὰ τὸ πνεῖν. καὶ γὰρ ἀναψύχει τοὺς ἀνθρώπους. αἰθρηγενέτης.] αἰθρίαν καὶ εὐδίαν ποιῶν. ἢ αὖθρον ποιῶν, ὅ ἐστι πάγον. λύτο.] ἀντὶ τοῦ ἐλύθη. δειλός.] δείλαιος δυστυχής. τί νύ μοι μήκιστα γένηται.] τίνα μοι τούτων δύναται γενέσθαι μείζονα κακά. τινὲς δὲ διὰ τοῦ χ γράφουσιν. ἵν' ᾖ μήχιστα, ἀντὶ τοῦ τίς μοι γένηται μηχανή. οἱ δὲ τίνυ, πῶς ὡς κακῶ, τίνυ βίομαι. πῶς μοι τούτων δύναται μείζω γενέσθαι κακά. μήκιστα.] μείζονα. ἔφατο.] εἶπεν. ἀναπλήσειν.] ἀναπληρώσειν.

οἵοισιν.] ὁποίοις. περιστρέφει.] περιλαμβάνει, περικαλύπτει. περισπέρχουσι.] κατεπείγουσι. περὶ Πηλεΐωνι θανόντι.] ἴσως διὰ τὴν Θέτιν τοῦ Ἀχιλλέως ἐμνήσθη. τῷ κεν.] οὕτως ἄν. ἔλαχον.] ἔτυχον, ἠξιώθην. ἦγον.] διέφερον, διεδίδοσαν. λευγαλέῳ.] ἀδόξῳ ἢ ἀδυνάτῳ, ἢ τῷ δι' ὕδατος. νῦν μοι σῶς αἰπὺς ὄλεθρος.] τοῦτο ἐστὶν ἀντὶ τοῦ ἀποθανεῖν. χάριν φέροντες.] χαριζόμενοι. εἵμαρτο.] πέπρωτο. ἔλασεν.] ἔπαισεν, ἐνέκρουσεν, ἔπληξεν. ἁλῶναι.] ἀποθανεῖν. ἐλέλιξεν.] ἔσεισεν. κατ' ἄκρης.] κατὰ κεφαλῆς. ἢ ἀντὶ τοῦ ὅλον, καὶ γὰρ κατ' ἄκρας πόλιν ἑλεῖν φαμέν. προέηκεν.] ἀφῆκεν, ἐξείασεν. σπεῖρον.] νῦν τὸ ἄρμενον. ὑπόβρυχα.] ὑποβρύχιον. βούλεται δὲ λέγειν τὸν καταδεδυκότα εἰς τὸ ὕδωρ. ἀνσχεθέειν.] ἤτι ἀντισχεῖν, ἢ ἀνελθεῖν. κρατός.] κεφαλῆς. κελάρυζεν.]

Ἐν μέσσῃ δὲ κάθιζε, τέλος θανάτου ἀλεείνων,
Τὴν δ' ἐφόρει μέγα κῦμα κατὰ ῥόον ἔνθα καὶ ἔνθα.
Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέῃσιν ἀκάνθας,
Ἂμ πεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχονται,
Ὣς τὴν ἂμ πέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα.
Ἄλλοτε μέν τε νότος Βορέῃ προβάλεσκε φέρεσθαι,
Ἄλλοτε δ' αὖτ' εὖρος, ζεφύρῳ εἴξασκε διώκειν,
Τὸν δὲ ἴδε Κάδμου θυγάτηρ καλλίσφυρος Ἰνὼ
Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα.
Νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἐξέμμορε τιμῆς,
Ἥ ῥ' Ὀδυσῆ' ἐλέησεν, ἀλώμενον ἄλγε' ἔχοντα,
Αἰθυίῃ δ' εἰκυῖα ποτῇ ἀνεδύσετο λίμνης,
Ἷζε δ' ἐπὶ σχεδίης, καί μιν πρὸς μῦθον ἔειπεν,
Κάμμορε, τίπτε τοι ὧδε Ποσειδάων ἐνοσίχθων
Ὠδύσατ' ἐκπάγλως, ὅτι τοι κακὰ πολλὰ φυτεύει,
Οὐ μὲν δή σε καταφθίσει μάλα περ μενεαίνων
Ἀλλὰ μάλ' ὧδ' ἔρξαι, δοκέεις δέ μοι οὐκ ἀπινύσσειν,
Εἵματα ταῦτ' ἀποδὺς, σχεδίην ἀνέμοισι φέρεσθαι
Κάλλιπ', ἀτὰρ χείρεσσι νέων, ἐπιμαίεο νόστου
Γαίης Φαιήκων, ὅθι τοι μοῖρ' ἐστὶν ἀλύξαι.
Τῆ δὲ, τόδε κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσαι
Ἄμβροτον, οὐδέ τι τοι παθέειν δέος, οὐδ' ἀπολέσθαι,
Αὐτὰρ ἐπὴν χείρεσσιν ἐφάψεαι ἠπείροιο,
Ἂψ ἀπολυσάμενος, βαλέειν εἰς οἴνοπα πόντον,
Πολλὸν ἀπ' ἠπείρου, αὐτὸς δ' ἀπονόσφι τραπέσθαι.
Ὣς ἄρα φωνήσασα θεὰ κρήδεμνον ἔδωκεν,
Αὐτὴ δ' ἂψ ἐς πόντον ἐδύσετο κυμαίνοντα,
Αἰθυίῃ εἰκυῖα, μέλαν δέ ἑ κῦμα κάλυψεν.
Αὐτὰρ ὁ μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς.
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν.
Ὤ μοι ἐγὼ μήτις μοι ὑφαίνῃσι δόλον αὖτε.
Ἀθανάτων, ὅτε με σχεδίης ἀποβῆναι ἀνώγει.
Ἀλλὰ μάλ' οὔπω πείσομ', ἐπεὶ ἑκὰς ὀφθαλμοῖσι
Γαῖαν ἐγὼν ἰδόμην, ὅθι μοι φάτο φύξιμον εἶν.
Ἀλλὰ μάλ' ὧδ' ἔρξω, δοκέει δέ μοι εἶν' ἄριστον,
Ὄφρ' ἂν μέν κεν δούρατ' ἐν ἁρμονίῃσιν ἀρήρῃ,
Τόφρ' αὐτοῦ μενέω καὶ τλήσομαι ἄλγεα πάσχων.
Αὐτὰρ ἐπὴν δή μοι σχεδίην διὰ κῦμα τινάξῃ,
Νήξομ', ἐπεὶ οὐ μέν τι πάρα προνοῆσαι ἄμεινον.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν.
Ὦρσε δ' ἐπὶ μέγα κῦμα Ποσειδάων ἐνοσίχθων,
Δεινόν τ' ἀργαλέον τε κατηρεφές. ἤλασε δ' αὐτόν.
Ὡς δ' ἄνεμός τε ζαὴς ἠΐων θημῶνα τινάξῃ
Καρφαλέων, τὰ μὲν ἄρ τε διεσκέδασ' ἄλλυδις ἄλλῃ
Ὣς τῆς

ῥύζειν.] μετὰ ἤχου ἔρρει. τέλος θανάτοιο.] τοῦ θανάτου. τειρόμενός περ.] καὶ καταπονούμενος. ἐλάβετο.] ἐπελάβετο, κατέσχεν. κατὰ ῥόον.] κατὰ τὸ ῥεῦμα. ὀπωρινός.] ὁ ἐν τῷ καιρῷ τῆς ὀπώρας, ὅ ἐστιν ἐν τῷ θέρει πνέων. φορέῃσι.] φέροι, κουφίζοι. ἔχονται.] ἀντέχονται. προβάλεσκε.] προεβάλετο, ὤθει. εἴξασκε.] παρεχώρει. τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ.] ἐλεεῖ αὐτὸν ὡς ἄνθρωπος γενομένη Ἰνώ. ἢ ὅτι ἦν φιλογύνης ὁ Ὀδυσσεύς, ἡ δὲ διὰ τὸν Ἀθάμαντα ἐδυστύχησεν. οὐκ ἐναντιοῦται δὲ τῷ Ποσειδῶνι, κακεῖνος γὰρ οἶδεν ὅτι δεῖ σωθῆναι αὐτόν. καλλίσφυρος.] καλὰ σφυρὰ ἔχουσα, ὅ ἐστι πόδας. Λευκοθέη.] Λευκοθέα ἐκλήθη ἡ Ἰνὼ ἀπὸ τοῦ θεῦσαι, ὅ ἐστι δραμεῖν διὰ τοῦ λεγομένου λευκοῦ πεδίου τῆς Μεγαρίδος. αὐδήεσσα.] ἤτοι διαβόητος διὰ τὰ συμβάντα. ἢ ἐπεὶ οἱ ἄνθρωποι φωνήεντες πρὸς τὰ ἄλλα ζῶα. αὐδήεσσα ἡ ἐπίγειος ποτέ. ἐξέμμορε τιμῆς.] μοῖραν ἔχει τιμῆς. αἰθυίῃ δ' εἰκυῖα ποτήν.] σὺν τῷ ν γραπτέον ἵν' ᾖ πτῆσιν ὡς τὴν ὁρμήν. ἀπαλλαττομένη μέντοι εἰκάσται τῇ αἰθυίᾳ ὡς καὶ ἡ Ἀθηνᾶ ὄρνις δ' ὡς ἀνόπαια διέπτατο., καὶ φήνῃ εἰδομένη αἴθυια δὲ εἶδος ὀρνέου θαλασσίου. ποτήν. ἢ ποτῇ.] τὴν πτῆσιν. τῇ πτήσει. ὠδύσσατο.] ὠργίσθη. ἐκπάγλως.] πάνυ ἐξόχως. καταφθίσει.] φθαρῆναι ποιήσει. ἔρξαι.] πρᾶξον, ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. δοκέεις.] δοκεῖς, νομίζεις. οὐκ ἀπινύσσειν.] οὐκ εἶναι ἀσύνετος. κάλλιπε.] κατάλιπε, ἔασον. νέων.] νηχόμενος, κολυμβῶν. ἐπιμαίεο.] ἐφίεσο, ἐφικνοῦ. ἀλύξαι.] ἐκφυγεῖν. τῆ.] λάβε δωρικῶς. κρήδεμνον.] κεφαλόδεσμον. τάνυσσαι.] ἁπλῶσαι, ἀντὶ τοῦ ἅπλωσον.

ἐφάψεαι.] ἐπιλάβῃ. πολλὸν ἀπ' ἠπείρου.] ἵνα μὴ τὸ κῦμα ἐκβράσῃ. ὑφαίνῃσιν.] κατασκευάζει. ἔρξω.] πράξω. πείσομαι.] πεισθήσομαι. φύξιμον.] φευκτόν. ἀρήρῃ.] ἥρμοσται. νήξομαι.] κολυμβήσω. ὥρμαινε.] διενοεῖτο. πάρα προνοῆσαι ἄμεινον.] τούτου κρεῖττον πάρεστιν νοῆσαι. κατηρεφές.] ὑψηλόν, ἐπεστεγασμένον καὶ κατακαλύψαν αὐτόν. ζαής.] μεγάλως πνέων, πολύπνους. ἠΐων.] ἀχύρων, παρὰ τὸ ἵεναι καὶ φέρεσθαι ταχέως τὸ ἄχυρον. δηλοῖ δὲ καὶ τὰ βρώματα καὶ ἐφόδια. θημῶνα.] σωρόν. καρφαλέων.] ξηρῶν. κέλης.] ὅ ἐστιν ὁ ἄζευκτος ἵππος. κέληθ' ὡς ἵππον.] ὡς διεσκέδασεν.] διεσκόρπισεν. ἄλλυδις ἄλλῃ.] ἄλλα ἀλλαχόσε.

βαίνη

Ὣς τῆς δούρατα μακρὰ διεσκέδασ᾽, αὐτὰρ Ὀδυσσεὺς
Ἀμφ᾽ ἑνὶ δούρατι βαῖνε κέληθ᾽ ὡς ἵππον ἐλαύνων.
Εἵματα δ᾽ ἐξαπέδυνε, τά οἱ πόρε δῖα Καλυψώ.
Αὐτίκα δὲ κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσεν.
Αὐτὸς δὲ πρηνὴς ἁλὶ κάππεσε χεῖρε πετάσσας,
Νηχέμεναι μεμαώς, ἴδε δὲ κρείων Ἐνοσίχθων.
Κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν.
Οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον,
Εἰς ὅκεν ἀνθρώποισι διοτρεφέεσσι μιγείης,
Ἀλλ᾽ οὐδ᾽ ὧς σε ἔολπα ὀνόσσεσθαι κακότητος.
Ὣς ἄρα φωνήσας, ἵμασεν καλλίτριχας ἵππους.
Ἵκετο δ᾽ εἰς Αἰγὰς ὅθι οἱ κλυτὰ δώματ᾽ ἔασιν.
Αὐτὰρ Ἀθηναίη κούρη Διὸς ἄλλ᾽ ἐνόησεν.
Ἤτοι τῶν ἄλλων ἀνέμων κατέδησε κελεύθους.
Παύσασθαι δ᾽ ἐκέλευσε, καὶ εὐνηθῆναι ἅπαντας.
Ὦρσε δ᾽ ἐπὶ κραιπνὸν Βορέην, πρὸ δὲ κύματ᾽ ἔαξεν,
Ἕως ὅγε Φαιήκεσσι φιληρέτμοισι μιγείη
Διογενὴς Ὀδυσσεύς, θάνατον καὶ κῆρας ἀλύξας.
Ἔνθα δύω νύκτας δύο δ᾽ ἤματα κύματι πηγῷ
Πλάζετο, πολλὰ δέ οἱ κραδίη προτιόσσετ᾽ ὄλεθρον.
Ἀλλ᾽ ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ᾽ Ἠώς,
Καὶ τότ᾽ ἔπειτ᾽ ἄνεμος μὲν ἐπαύσατο ἠδὲ γαλήνη
Ἔπλετο νηνεμίη, ὁ δ᾽ ἄρα σχεδὸν εἴσιδε γαῖαν,
Ὀξὺ μάλα προϊδών, μεγάλου ὑπὸ κύματος ἀρθείς.
Ὡς δ᾽ ὅταν ἀσπάσιος βίοτος παίδεσσι φανείη
Πατρός, ὃς ἐν νούσῳ κεῖται κρατέρ᾽ ἄλγεα πάσχων,
Δηρὸν τηκόμενος, στυγερὸς δέ οἱ ἔχραε δαίμων,
Ἀσπασίως δ᾽ ἄρα τόν γε θεοὶ κακότητος ἔλυσαν,
Ὣς Ὀδυσῆ᾽ ἀσπαστὸν ἐείσατο γαῖα καὶ ὕλη.
Νῆχε δ᾽ ἐπειγόμενος ποσὶν ἠπείρου ἐπιβῆναι.
Ἀλλ᾽ ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,
Καὶ δὴ δοῦπον ἄκουσε ποτὶ σπιλάδεσσι θαλάσσης.
Ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο
Δεινὸν ἐρευγόμενον, εἴλυτο δὲ πάνθ᾽ ἁλὸς ἄχνῃ.
Οὐ γὰρ ἔσαν λιμένες νηῶν ὄχοι, οὐδ᾽ ἐπιωγαί.
Ἀλλ᾽ ἀκταὶ προβλῆτες ἔσαν, σπιλάδες τε, πάγοι τε.
Καὶ τότ᾽ Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ.
Ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν.
Ὤ μοι, ἐπειδὴ γαῖαν ἀελπέα δῶκεν ἰδέσθαι
Ζεύς, καὶ δὴ τόδε λαῖτμα διατμήξας ἐπέρησα,
Ἔκβασις οὔπῃ φαίνεθ᾽ ἁλὸς πολιοῖο θύραζε.
Ἔκτοσθεν μὲν γὰρ πάγοι ὀξέες, ἀμφὶ δὲ κῦμα
Βέβρυχεν ῥόθιον, λισσὴ δ᾽ ἀναδέδρομε πέτρη.

Ἀγχιβαθὴς

βαῖνε.] περιέβαινεν. κέλητα.] μόνον ἵππον. ἐξαπέδυνεν.] ἀπεδύσατο. πρηνής.] ἐπὶ πρόσωπον. νηχέμεναι.] νήχεσθαι, κολυμβᾶν. ἀλόω.] πλανῶ. ὀνόσσεσθαι κακότητος.] ἐξευτελήσειν τὴν κάκωσιν ἢ μέμψασθαι. Αἰγάς.] πόλιν τῆς Ἀχαίας. οἱ δὲ νῆσον πρὸ τῆς Εὐβοίας, ἱερὰν Ποσειδῶνος.

κατέδησε.] κατέσχεν, ἔπαυσεν.

κελεύθους.] νῦν τὰς πνοάς. κραιπνόν.] ταχὺν ἢ ὀξύν. πρὸ δὲ κύματ᾽ ἔαξεν.] κατέαξε τὰ τῶν ἄλλων κύματα. ἐπιφέρει γὰρ μεγάλου, ὑπὸ κύματος ἀρθείς. πηγῷ.] οἱ μὲν γλωσσογράφοι μέλανι καὶ ἰσχυρῷ. τινὲς δὲ γαληναίῳ. κρεῖσσον εὐπαγεῖ καὶ εὐτραφεῖ καὶ εὐμεγέθει. πλάζετο.] ἐπλανᾶτο, προσεπέλαζε τῇ γῇ. προτιόσσετ᾽ ὄλεθρον.] ἐν ὀφθαλμοῖς καὶ φανερῶς ἑώρα τὴν ἑαυτοῦ ἀπώλειαν. νηνεμίη.] ἥσυχος, χωρὶς πνοῆς.

ἀρθείς.] ἐπαρθείς. κουφισθείς. βίοτος.] βίος, ζωή. κρατέρα.] ἰσχυρά.

ἄλγεα.] νῦν ὀδύνας. ἔχραε.] ἐπέσκηψεν. ἢ ἐπεβάρησεν, ἢ μετὰ βλάβης ἐπῆλθεν. κακότητος.] τοῦ κινδύνου τῆς νόσου. ἀσπαστόν.] ἐπιθυμητόν. νῆχε.] ἐνήχετο, ἐκολύμβα. ἀπῆν.] ἀφειστήκει. ὅσσον τε γέγωνε βοήσας.] ὥστε ἐξάκουστον γενέσθαι βοήσαντα.

σπιλάδεσσι.] ὑφάλοις πέτραις.

ῥόχθει.] ποιὸν ἦχον ἀπετέλει. περὶ ξερὸν ἠπείροιο.] πρὸς τὸ ξερὸν τῆς γῆς. λέγει δὲ τὸ πετρῶδες τῆς ἀκτῆς. ἐρευγόμενον.] μετὰ ἦχον ἀποβάλλον, ἐκβαζόμενον. εἴλυτο.] ἐκεκάλυπτο.

ἁλὸς ἄχνῃ.] τῷ λεπτομερεστάτῳ τοῦ ἀφροῦ, ἢ τῇ ἀποκαθαρσίᾳ. νηῶν ὄχοι.] οἱ συνέχοντες τὰς ναῦς. ἢ ἐφ᾽ ὧν ὀχοῦνται καὶ ἀναπαύονται αἱ νῆες.

ἐπιωγαί.] οἱ ἀνέμου σκέπην ἔχοντες τόποι, ἢ αἱ ἐξοχαὶ καὶ οἱ πλατεῖς αἰγιαλοί. προβλῆτες.] αἱ προβεβλημέναι τῆς θαλάσσης πέτραι. ἀκταί, ἐξοχαί, πάγοι.] οἱ ὀξεῖς τόποι. αἱ πετρώδεις ἐξοχαὶ ἢ ὀξεῖς πέτραι, ἢ εἰς ὕψος ἀνέχουσαι πέτραι ἀνατεταμένοι τόποι. σπιλάδες.] αἱ διεσχισμέναι καὶ κεκοιλωμέναι πέτραι, ὑπὸ τῆς πλήξεως τῶν κυμάτων. ἀελπέα.] ἀνέλπιστον. βέβρυχεν.] ἠχεῖ. βοᾷ. βρέμει.] βρυχᾶται. ῥόθιον.] ἀπὸ τοῦ γινομένου ἤχου τὸ σημαινόμενον, ἢ ῥοίζῳ φερόμενον καὶ ὁρμητικόν. λισσή.] ἡ λεία καὶ ὁμαλή. ἀναδέδρομε.] ἀνατέταται, ἀνῆκεν εἰς ὕψος. ἀγχιβαθής.] ἡ ἐγγὺς τῆς γῆς βάθος ἔχουσα. λίθακι.] λιθάδει πέτρᾳ ὑποπεπτωμένῃ τῇ

μένῃ τῇ θαλάσσῃ ἢ διεχούσῃ. μελέη.] ματαία. ἠιόνας.] αἰγιαλούς. παραπλῆγας.] τοὺς ἐκ πλαγίου καὶ οὐχ' ἀντικρὺ παραπλησσομένους λιμένας ἐπιθετικῶς. θύελλα.] ἀνέμων. συστροφή. στενάχοντα.] στενάζοντα. ἀμφιτρίτη.] ἀπὸ τῆς δαίμονος ἡ θάλασσα. ὀδώδυσται.] κεχόλωται, ὤργισται. ῥίνον.] δέρμα. δρύφθη.] ἀπεδάρη, περιεσπαράχθη, διεξέσθη. νέων.] κολυμβῶν. ἀράχθη.] συνετρίβη ἢ ἐῤῥάγη. ἐπεσσύμενος.] ἐφορμήσας. λάβε.] ἐπελάβετο. στενάχων.] στενάζων. ὑπάλυξεν.] διέφυγεν. παλιῤῥόθιον.] παλινόρμητον, εἰς τοὐπίσω φερόμενον, ἐκ τοῦ ἀντικρὺ ῥέοντος ἐσσύμενον.] ἐπελθὸν τὸ κῦμα. πουλύποδος.] τοῦ ὀκτάποδος. εἶδος δὲ ἰχθύος ὁ ὀκτάπους. θαλάμης.] φωλεοῦ, καταδύσεως. πρὸς κοτυληδόνοφιν.] πρὸς ταῖς κοτυληδόσι. κοτυληδόνες δέ εἰσιν αἱ πολύποδος πλεκτάναι, ἐν αἷς τῶν πλεκτανῶν ἀντίως δὲ προβέβληται. πυκιναί.] πυκναί, συνεχεῖς. λάιγγες.] μικρὰ λιθάρια ἢ μικραὶ ψῆφοι. ῥινοί.] τὰ δέρματα. ἀπέδρυφθεν.] ἀπεδρύφθησαν, ἀπεσπάσθησαν, ἀπεξέσθησαν. δύστηνος.] ἄθλιος. ἐπιφροσύνην.] σύνεσιν, ἐπίνοιαν. ἷξε.] ἀφίκετο, παρεγένετο. ἐξαναδύς.] ἀνελθών. ἐρεύγεται.] μετὰ ἤχου προσρήγνυται. στόμα.] τὴν εἴσοδον. σκέπας.] σκέπη. καλλιρόοιο.] καλὰ ῥεύματα ἔχοντος. χῶρος.] τόπος. ἔγνω.] ἐθεάσατο ἢ ᾔσθετο. πολύλλιστον.] πολυλιτάνευτον. ἱκάνω δέ.] ἀντὶ τοῦ ἱκετεύω. ἐνιπάς.] ἀπειλάς. ἵκηται.] ἱκετεύσει. ἐλέαιρε.] ἐλέησον. εὔχομαι.] νῦν λέγω. ἔσχε.] ἐπέσχεν, ἔπαυσεν. προχοάς.] τὰ εἰς θάλασσαν τοῦ ποταμοῦ στόματα τὰς προχύσεις. δέδμητο.] ἐδεδάμαστο. ἁλὶ γὰρ δέδμητο.] τῇ θαλάσσῃ καταπεπονημένος ἦν ὅλος.] ἔνιοι ᾤδης ἐν ὄγκῳ. κήκιε.] κατέῤῥει, ἀνεφέρετο. ἄπνευστος.] μὴ ἀναπνέων. ἄναυδος.] ἄφωνος. ὀλιγηπελέων.] ὀλιγοψυχῶν. ἵκανεν.] νῦν συνεῖχεν. ἀλιμυρήεντα.]

Ἀγχιβαθὴς δὲ θάλασσα, τὸ δ' οὔπως ἐστὶ πόδεσσι
Στήμεναι ἀμφοτέροισι καὶ ἐκφυγέειν κακότητα.
Μήπως μ' ἐκβαίνοντα βάλῃ λίθακι ποτὶ πέτρῃ
Κῦμα μέγ' ἁρπάξαν, μελέη δέ μοι ἔσσεται ὁρμή,
Εἰ δέ κ' ἔτι προτέρω παρανήξομαι, ἤν που ἐφεύρω
Ἠιόνας τε παραπλῆγας λιμένας τε θαλάσσης,
Δείδω μή μ' ἐξαῦτις ἀναρπάξασα θύελλα,
Πόντον ἐπ' ἰχθυόεντα φέρῃ βαρέα στενάχοντα,
Ἠέ τι μοι καὶ κῆτος ἐπισσεύῃ μέγα δαίμων
Ἐξ ἁλὸς, οἷά τε πολλὰ τρέφει κλυτὸς Ἀμφιτρίτη,
Οἶδα γὰρ ὥς μοι ὀδώδυσται κλυτὸς Ἐννοσίγαιος.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
Τόφρα δέ μιν μέγα κῦμα φέρεν τρηχεῖαν ἐπ' ἀκτήν
Ἔνθα κ' ἀπὸ ῥινούς τε δρύφθη, σὺν δ' ὀστέ' ἀράχθη,
Εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη,
Ἀμφοτέρῃσι δὲ χερσὶν ἐπεσσύμενος λάβε πέτρης,
Τῆς ἔχετο στενάχων εἵως μέγα κῦμα παρῆλθε,
Καὶ τὸ μὲν ὣς ὑπάλυξε, παλιῤῥόθιον δέ μιν αὖτις
Πλῆξεν ἐπεσσύμενον, τηλοῦ δέ μιν ἔμβαλε πόντῳ.
Ὡς δ' ὅτε πουλύποδος θαλάμης ἐξελκομένοιο
Πρὸς κοτυληδονόφιν πυκιναὶ λάϊγγες ἔχονται,
Ὣς τοῦ πρὸς πέτρῃσι θρασειάων ἀπὸ χειρῶν,
Ῥινοὶ ἀπέδρυφθεν, τὸν δὲ μέγα κῦμα κάλυψεν,
Ἔνθα κε δὴ δύστηνος ὑπὲρ μόρον ὤλετ' Ὀδυσσεύς,
Εἰ μὴ ἐπιφροσύνην δῶκε γλαυκῶπις Ἀθήνη.
Κύματος ἐξαναδὺς τά τ' ἐρεύγεται ἤπειρόνδε,
Νῆχε παρὲξ ἐς γαῖαν ὁρώμενος εἴ που ἐφεύροι
Ἠιόνας τε παραπλῆγας λιμένας τε θαλάσσης,
Ἀλλ' ὅτε δὴ ποταμοῖο κατὰ στόμα καλλιρόοιο
Ἷξε νέων, τῇ δή οἱ ἐείσατο χῶρος ἄριστος
Λεῖος πετράων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο,
Ἔγνω δὲ προρέοντα, καὶ εὔξατο ὃν κατὰ θυμόν,
Κλῦθι ἄναξ ὅς τις ἐσσὶ πολύλιστον δέ σ' ἱκάνω.
Φεύγων ἐκ πόντοιο Ποσειδάωνος ἐνιπάς.
Αἰδοῖος μέν τ' ἐστὶ καὶ ἀθανάτοισι θεοῖσιν
Ἀνδρῶν, ὅς τις ἵκηται ἀλώμενος, ὡς καὶ ἐγὼ νῦν,
Σόν τε ῥόον σά τε γούνατ' ἱκάνω πολλὰ μογήσας,
Ἀλλ' ἐλέαιρε ἄναξ, ἱκέτης δέ τοι εὔχομαι εἶναι.
Ὣς φάτ', ὁ δ' αὐτίκα παῦσεν ἑὸν ῥόον, ἔσχε δὲ κῦμα
Πρόσθε δέ οἱ ποίησε γαλήνην, τὸν δ' ἐσάωσεν
Ἐς ποταμοῦ προχοάς. ὁ δ' ἄρ' ἄμφω γούνατ' ἔκαμψε.
Χεῖράς τε στιβαράς, ἁλὶ γὰρ δέδμητο φίλον κῆρ,
Ὤιδεε δὲ χρόα πάντα, θάλασσα δὲ κήκιε πολλὴ
Ἂν στόμα τε ῥῖνάς τε, ὁ δ' ἄπνευστος καὶ ἄναυδος
Κεῖτ' ὀλιγηπελέων, κάματος δέ μιν αἰνὸς ἵκανεν,
Ἀλλ' ὅτε δή ῥ' ἔμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη.

Καὶ τότε

Καὶ τότε δὴ κρήδεμνον ἀπὸ ἕο λῦσε θεοῖο,
Καὶ τὸ μὲν ἐς ποταμὸν ἁλιμυρήεντα μεθῆκεν,
Ἂψ δ' ἔφερε μέγα κῦμα κατὰ ῥόον, αἶψα δ' ἄρ' Ἰνὼ
Δέξατο χερσὶ φίλῃσιν, ὁ δ' ἐκ ποταμοῖο λιασθεὶς
Σχοίνῳ ὑπεκλίνθη, κύσε δὲ ζείδωρον ἄρουραν.
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤμοι ἐγὼ, τί πάθω, τί νύ μοι μήκιστα γένηται,
Εἰ μέν κ' ἐν ποταμῷ δυσκηδέα νύκτα φυλάξω.
Μή μ' ἄμυδις στίβη τε κακὴ, καὶ θῆλυς ἐέρση
Ἐξ ὀλιγηπελίης δαμάσῃ κεκαφηότα θυμόν,
Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό,
Εἰ δέ κεν ἐς κλιτὺν ἀναβὰς καὶ δάσκιον ὕλην
Θάμνοις ἐν πυκινοῖσι καταδράθω, εἴ κε μεθείη
Ῥῖγος καὶ κάματος, γλυκερὸς δέ μοι ὕπνος ἐπέλθῃ,
Δείδω μὴ θήρεσσιν ἕλωρ καὶ κύρμα γένωμαι.
Ὣς ἄρα οἱ φρονέοντι, δοάσσατο κέρδιον εἶναι.
Βῆ δ' ἴμεν ἐς ὕλην, τὴν δὲ σχεδὸν ὕδατος εὗρεν
Ἐν περιφαινομένῳ, δοιοὺς δ' ἄρ' ὑπήλυθε θάμνους
Ἐξ ὁμόθεν πεφυῶτας, ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης.
Τοὺς μὲν ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων,
Οὔτε ποτ' ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν.
Οὔτ' ὄμβρος περάασκε διαμπερὲς, ὣς ἄρα πυκνοὶ
Ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς, οὓς ὑπ' Ὀδυσσεὺς
Δύσετ', ἄφαρ δ' εὐνὴν ἐπαμήσατο χερσὶ φίλῃσιν
Εὐρεῖαν, φύλλων γὰρ ἔην χύσις ἤλιθα πολλή.
Ὅσσον τ' ἠὲ δύω, ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι
Ὥρῃ χειμερίῃ, εἰ καὶ μάλα περ χαλεπαίνοι.
Τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς.
Ἐν δ' ἄρα μέσσῃ λέκτο, χύσιν δ' ἐπεχεύατο φύλλων.
Ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ
Ἀγροῦ ἐπ' ἐσχατιῆς, ᾧ μὴ πάρα γείτονες ἄλλοι,
Σπέρμα πυρὸς σώζων, ἵνα μή ποθεν ἄλλοθεν αὔοι,
Ὣς Ὀδυσσεὺς φύλλοισι καλύψατο, τῷ δ' ἄρ' Ἀθήνη
Ὕπνον ἐπ' ὄμμασι χεῦ', ἵνα μιν παύσειε τάχιστα,
Δυσπονέος καμάτοιο φίλα βλέφαρ' ἀμφικαλύψας.

ΟΔΥΣΣΕΙΑΣ

ἁλιμυρήεντα.] ἐπιθετικῶς τὸν ἐς θάλασσαν ἀναβρυόμενον. μεθῆκεν.] ἀφῆκεν. δέξατο.] ἔλαβεν. λιασθείς.] χωρισθείς. σχοίνῳ.] εἶδος πόας ἡ σχοῖνος. ὑπεκλίνθη.] ἐπέπεσεν. κύσε.] κατεφίλησεν. δυσκηδέα.] χαλεπὴν, κακωτικήν. ἄμυδις.] ὁμοῦ. στίβη δέ.] ἡ πάχνη, κατὰ ἀντίφρασιν, ἢ τὸ ἑωθινὸν ψῦχος. θῆλυς.] θάλλουσα. ἐέρση.] δρόσος. ὀλιγηπελίης.] ὀλιγοψυχίας. κεκαφηότα.] ἐκπεπνευκότα ἢ κεκακωμένον. αὔρη.] πνοή. ἠῶθι πρό.] πρὸ ἡμέρας. κλιτύν.] τὴν ὑψηλὴν πρόσβασιν τοῦ ὄρους. θάμνοις.] δασέσι φυτοῖς. δάσκιον.] δασύσκιον. καταδράθω.] καθευδήσω, κατακοιμηθῶ. μεθείη.] ἐάσει. κέρδιον.] ὠφέλιμον, κρεῖττον. φρονέοντι.] βουλευομένῳ. περιφαινομένῳ.] περιορωμένῳ. περὶ ὃν τόπον οὐκ ἔστιν ὕλη ἀλλὰ μόνον θάμνος. τὸ δὲ περὶ αὐτὸν ψιλόν. ἐξομόθεν.] ἐκ τοῦ αὐτοῦ τόπου. πεφυῶτας.] πεφυκότας ἀναδιδομένους. φυλίης.] εἶδος ἐλαίας τῆς καλουμένης φυλίας. διάει.] διαπνεῖ, δίεισιν. ἀέντων.] πνεόντων. ἔφυν.] ὑπῆρχον, ἐπεφύκεσαν. ἐπαμοιβαδίς.] ἐπιπλεγμένοι, ἐναλλάξ. δύσετο.] εἰσέδυ, ὑπεισῆλθεν. ἐπαμήσατο.] ἐπεσπάσατο, ἐπισώρευσεν, ἐπέβαλεν. χύσις.] ἄθροισις πλῆθος. ἤλιθα.] ἀθρόως, δαψιλῶς. ἔρυσθαι.] ῥύσασθαι, σῶσαι, φυλάξαι. ὥρῃ χειμερίῃ.] ἐν τῇ τοῦ χειμῶνος ὥρᾳ. λέκτο.] ἐκοιμᾶτο. δαλόν.] διάπυρον ξύλον. σπέρμα πυρός.] τὸν σπινθῆρα τοῦ πυρός. χαλεπαίνοι.] χαλεπῶς ὑπὸ ῥίγους διατεθῇ. σποδιῇ.] κονίᾳ, σποδῷ. ἐπ' ἐσχατιῆς.] ἐπ' ἐσχάτων μερῶν. αὔοι.] ἀνάπτοι. χεῦ'.] ἐπέβαλεν. δυσπονέος.] χαλεπὸν πόνον ἐπιφέροντος. ἀμφικαλύψας.] περισκεπάσας.

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ζ ΤΟΥ

## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἀθηνᾶ ἐπιστᾶσα ὄναρ τῇ Ἀλκινόου θυγατρὶ Ναυσικάᾳ, κελεύει αὐτῇ τὴν ἐσθῆτα ἐπὶ τὸν ποταμὸν ἀγαγοῦσαν πλύνειν· πλησίον γὰρ αὐτῇ εἶναι τὸν γάμον. ἡ δὲ τὸ κελευσθὲν ποιεῖ. ἔπειτα παίζει μετὰ τῶν θεραπαινῶν. ἀκούσας δὲ αὐτῶν ὁ Ὀδυσσεὺς, ἐξυπνίζεται καὶ αἰτηθεὶς Ναυσικάας ἐσθῆτα καὶ τροφὴν παρ' αὐτῆς λαβὼν ἕπεται αὐτῇ εἰς τὴν πόλιν.